αὐτοῦ ποιήσει αὐτό· νόμος εἷς ἔσται ὑμῖν καὶ τῷ προσηλύτῳ καὶ
τῷ αὐτόχθονι τῆς γῆς.
[15]Καὶ τῇ ἡμέρᾳ, ᾗ ἐστάθη ἡ σκηνή, ἐκάλυψεν ἡ νεφέλη τὴν σκη- 15
νήν, τὸν οἶκον τοῦ μαρτυρίου· καὶ τὸ ἑσπέρας ἦν ἐπὶ τῆς σκηνῆς
ὡς εἶδος πυρὸς ἕως πρωί. [16]οὕτως ἐγίνετο διὰ παντός· ἡ νεφέλη 16
ἐκάλυπτεν αὐτὴν ἡμέρας καὶ εἶδος πυρὸς τὴν νύκτα. [17]καὶ ἡνίκα 17
ἀνέβη ἡ νεφέλη ἀπὸ τῆς σκηνῆς, καὶ μετὰ ταῦτα ἀπῆραν οἱ υἱοὶ
Ισραηλ· καὶ ἐν τῷ τόπῳ, οὗ ἂν ἔστη ἡ νεφέλη, ἐκεῖ παρενέβαλον
οἱ υἱοὶ Ισραηλ. [18]διὰ προστάγματος κυρίου παρεμβαλοῦσιν οἱ υἱοὶ 18
Ισραηλ καὶ διὰ προστάγματος κυρίου ἀπαροῦσιν· πάσας τὰς ἡμέ-
ρας, ἐν αἷς σκιάζει ἡ νεφέλη ἐπὶ τῆς σκηνῆς, παρεμβαλοῦσιν οἱ
υἱοὶ Ισραηλ· [19]καὶ ὅταν ἐφέλκηται ἡ νεφέλη ἐπὶ τῆς σκηνῆς ἡμέ- 19
ρας πλείους, καὶ φυλάξονται οἱ υἱοὶ Ισραηλ τὴν φυλακὴν τοῦ θεοῦ
καὶ οὐ μὴ ἐξάρωσιν· [20]καὶ ἔσται ὅταν σκεπάσῃ ἡ νεφέλη ἡμέρας 20
ἀριθμῷ ἐπὶ τῆς σκηνῆς, διὰ φωνῆς κυρίου παρεμβαλοῦσιν καὶ διὰ
προστάγματος κυρίου ἀπαροῦσιν· [21]καὶ ἔσται ὅταν γένηται ἡ νε- 21
φέλη ἀφ᾽ ἑσπέρας ἕως πρωὶ καὶ ἀναβῇ ἡ νεφέλη τὸ πρωί, καὶ ἀπα-
ροῦσιν ἡμέρας ἢ νυκτός· [22]μηνὸς ἡμέρας πλεοναζούσης τῆς νε- 22
φέλης σκιαζούσης ἐπ᾽ αὐτῆς παρεμβαλοῦσιν οἱ υἱοὶ Ισραηλ καὶ οὐ
μὴ ἀπάρωσιν. [23]ὅτι διὰ προστάγματος κυρίου ἀπαροῦσιν, τὴν φυ- 23
λακὴν κυρίου ἐφυλάξαντο διὰ προστάγματος κυρίου ἐν χειρὶ Μωυσῆ.
[1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [2]Ποίησον σεαυτῷ 10
δύο σάλπιγγας ἀργυρᾶς, ἐλατὰς ποιήσεις αὐτάς, καὶ ἔσονταί σοι
ἀνακαλεῖν τὴν συναγωγὴν καὶ ἐξαίρειν τὰς παρεμβολάς. [3]καὶ σαλ- 3
πίσεις ἐν αὐταῖς, καὶ συναχθήσεται πᾶσα ἡ συναγωγὴ ἐπὶ τὴν θύ-
ραν τῆς σκηνῆς τοῦ μαρτυρίου· [4]ἐὰν δὲ ἐν μιᾷ σαλπίσωσιν, προσ- 4
ελεύσονται πρὸς σὲ πάντες οἱ ἄρχοντες, ἀρχηγοὶ Ισραηλ. [5]καὶ 5
σαλπιεῖτε σημασίαν, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλου-
σαι ἀνατολάς· [6]καὶ σαλπιεῖτε σημασίαν δευτέραν, καὶ ἐξαροῦσιν 6
αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι λίβα· καὶ σαλπιεῖτε σημασίαν
τρίτην, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι παρὰ θά-
λασσαν· καὶ σαλπιεῖτε σημασίαν τετάρτην, καὶ ἐξαροῦσιν αἱ παρεμ-
βολαὶ αἱ παρεμβάλλουσαι πρὸς βορρᾶν· σημασίᾳ σαλπιοῦσιν ἐν τῇ
ἐξάρσει αὐτῶν. [7]καὶ ὅταν συναγάγητε τὴν συναγωγήν, σαλπιεῖτε 7
καὶ οὐ σημασίᾳ. [8]καὶ οἱ υἱοὶ Ααρων οἱ ἱερεῖς σαλπιοῦσιν ταῖς σάλ- 8
πιγξιν, καὶ ἔσται ὑμῖν νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν. [9]ἐὰν 9

14 ποιησει ult.] pr. ουτως A || 15 σκηνης] γης A† || 17 απηρον et παρενεβαλλον A || 18 παρεμβαλλουσιν $1^0$ (non $2^0$) A | και > B*† || 20 απαρουσιν] εξαρ. A || 21 fin.] + και αναβη η νεφελη απαρουσιν A || 22 init.] pr. ημερας η A | της νεφ. σκιαζ. > A || 23 εφυλαξαντο] pr. ην B*, εφυλαξαν A
10 2 αργ. ελατας] tr. B | αυτας] σεαυτω B*† || 3 σαλπιεις A$B^c$ || 5 παρεμβαλουσαι B* || 6 λιβα] νοτον A | παρα > A† | προς > A$B^c$